ὅτι ἡ νόησις ἔχει εἶδος καὶ εἶναι, καὶ λαμβάνεται ἐκεῖ τὸ εἶδος ἀντ' αὐτοῦ τοῦ τί ἦν εἶναι καὶ τῆς οὐσίας ἢ τῆς φύσεως τῆς ἁπλῆς.

Καὶ πῶς τοῦτ' ἂν εἴη, ῥᾴδιον θεωρεῖν. Ὅταν γάρ τινα οὕτως ἔχῃ πρὸς ἄλληλα, ὥστε θάτερον θατέρου αἴτιον εἶναι, τὸ ἔχον τὸν τῆς αἰτίας λόγον δύναται ἔχειν τὸ εἶναι χωρὶς τοῦ λοιποῦ, ἀλλ' οὐκ ἀντιστρέφει. Τοιαύτη δὲ εὑρίσκεται σχέσις τῆς ὕλης καὶ τοῦ εἴδους, ὅτι τὸ εἶδος δίδωσι τὸ εἶναι, καὶ διὰ τοῦτο ἀδύνατόν ἐστιν εἶναι τὴν ὕλην ἄνευ εἴδους τινός· ἔστι μέντοι γε εἶναί τι εἶδος ἄνευ ὕλης τινός. Ἀλλ' ἐὰν εὑρίσκωνταί τινα εἴδη μὴ δυνάμενα εἶναι ἐν ὕλῃ, τοῦτο συμβαίνει αὐτοῖς καθὸ εἰσι διεστῶτα τῆς πρώτης ἀρχῆς, ἥτις ἐστὶν ἡ πρώτη ἐνέργεια καὶ εἰλικρινής. Ὅθεν τὰ μάλιστα ἐγγίζοντα τῇ πρώτῃ ἀρχῇ εἴδη εἰσὶν εἴδη καθ' αὑτὰ χωρὶς ὕλης ὑφεστῶτα· οὐ γὰρ τὸ εἶδος καθ' ὅλον τὸ γένος αὐτοῦ χρῄζει τῆς ὕλης, ὡς εἴρηται· καὶ τοιαῦτα εἴδη εἰσὶν τὰ νοητὰ ἤγουν αἱ νοήσεις, καὶ διὰ τοῦτο οὐ δεῖ τὰς οὐσίας ἢ τὸ τί ἦν εἶναι τούτων τῶν οὐσιῶν ἄλλο εἶναι παρ' αὐτὸ τὸ εἶδος.

2. Ἐν τούτῳ τοίνυν διαφέρουσιν ἡ οὐσία τῆς συνθέτου οὐσίας καὶ τῆς ἁπλῆς οὐσίας, ὅτι ἡ οὐσία τῆς συνθέτου οὐκ ἔστι μόνον εἶδος, ἀλλὰ περιλαμβάνει τὴν ὕλην καὶ τὸ εἶδος, ἡ δὲ οὐσία τῆς ἁπλῆς ἐστιν εἶδος μόνον, καὶ ἐκ τούτου τίκτονται ἄλλαι δύο διαφοραί· μία ἐστίν, ὅτι ἡ οὐσία τῆς συνθέτου δύναται | σημαίνεσθαι ὡς ὅλον ἢ ὡς μέρος, ὅπερ f. 284
συμβαίνει διὰ τὸν τῆς ὕλης ἀφορισμόν, ὡς εἴρηται, καὶ διὰ τοῦτο οὐχ οἱῳδήτινι τρόπῳ κατηγορεῖται ἡ οὐσία τοῦ συνθέτου πράγματος· οὐ γὰρ δύναται λέγεσθαι, ὅτι ἔστιν ἡ οὐσία αὐτοῦ· ἀλλ' ἡ οὐσία τοῦ ἁπλοῦ πράγματος, ἥτις ἐστὶ τὸ εἶδος αὐτοῦ, οὐ δύναται σημαίνεσθαι εἰ μὴ ὡς ὅλον, ἐπεὶ οὐκ ἔστιν ἐκεῖ παρὰ τὸ εἶδος τὶ ὡσανεὶ τὸ εἶδος δεχόμενον, καὶ διὰ τοῦτο κἂν ὅπως λαμβάνοιτο ἡ οὐσία τοῦ ἁπλοῦ πράγματος, κατ' αὐτοῦ κατηγορεῖται. Ὅθεν Ἀβινσένας φησὶν ὅτι ἡ οὐσία τοῦ ἁπλοῦ ἐστιν αὐτὸ τὸ ἁπλοῦν, διότι οὐκ ἔστι τι τὸ ταύτην δεχόμενον. Δευτέρα διαφορὰ τῆς οὐσίας τῶν συνθέτων, ὅτι ἡ οὐσία αὐτῶν ἐστι σύνθετος ἐξ ὕλης καὶ εἴδους καὶ ἐν ὕλῃ προσλαμβανομένη, καὶ ἐκ τοῦ λαμβάνεσθαι ἐν ὕλῃ πολλαπλασιάζονται κατὰ τὴν διαίρεσιν αὐτῆς. Ὅθεν συμβαίνει ἔνια εἶναι ταὐτὸν τῷ εἴδει καὶ διάφορα τῷ ἀριθμῷ, ἀλλὰ διὰ τὸ τὴν τοῦ ἁπλοῦ οὐσίαν μὴ προσειλῆφθαι ἐν ὕλῃ, οὐ δύναται ἐκεῖ εἶναι ὁ τοιοῦτος πολλαπλασιασμός, καὶ διὰ τοῦτο χρὴ μὴ εὑρίσκεσθαι ἐν ἐκείναις ταῖς οὐσίαις πλείω ἄτομα

---

1-2 *ἀντ' αὐτοῦ τοῦ τί ἦν εἶναι*: *ἀντ' αὐτῆς τῆς ὑπάρξεως* CD 9 *μὴ* effacé dans B. Aucune des deux leçons ne rend l'original: *quae non possunt esse nisi in materia* (*ἃ ἐν ὕλῃ μόνον δύναται εἶναι*) *εἰσι διεστῶτα*: *διεστήκασιν* CD 14 *τὰς οὐσίας ἢ τὸ τί ἦν εἶναι*: *τὸ εἶναι ἢ τὰς ὀντότητας* CD 26 *οὐσία* (1°): *ὀντότης ἢ τὸ εἶναι* CD 27 *οὐσία*: *ὀντότης ἢ ὕπαρξις αὐτοῦ* CD 30-31 *πολλαπλασιάζηται* B 31-32 *ταὐτὰ* CD

Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

τοῦ αὐτοῦ εἴδους, ἀλλ' ὅσα εἰσὶ τὰ ἄτομα, τοσαῦτα εἶναι ἐκεῖ καὶ τὰ εἴδη, ὡς Ἀβινσένας φησὶν ἐναργῶς.

3. Αἱ τοιαῦται τοίνυν οὐσίαι, εἰ καὶ εἰσιν εἴδη μόνον ὕλης χωρίς, οὐ μέντοι γε ἐστὶν ἐν αὐταῖς παντοία ἁπλότης οὐδ' εἰσὶν ἐνέργειαι εἰλικρινεῖς, ἀλλ' ἔχουσιν μίξιν δυνάμεως. Καὶ τοῦτο δῆλον οὕτως ἐστίν· εἴ τι γὰρ οὐκ ἔστιν ἐκ τῆς ἐννοίας τῆς οὐσίας ἢ τοῦ τί ἦν εἶναι, τοῦτο ἐστὶν ἐπεισαγόμενον ἔξωθεν καὶ ποιοῦν σύνθεσιν μετὰ τῆς οὐσίας, διότι οὐδεμία οὐσία χωρὶς τῶν ἃ μέρη τῆς οὐσίας εἰσί, νοεῖσθαι δύναται· πᾶσα δὲ οὐσία δύναται νοεῖσθαι χωρὶς τοῦ νοεῖσθαί τι περὶ τοῦ εἶναι αὐτῆς· δύναμαι γὰρ νοεῖν τί ἐστιν ὁ ἄνθρωπος ἢ ὁ φοῖνιξ, καὶ ὅμως ἀγνοεῖν εἰ εἰσὶν αὐτὰ ἐν τῇ τῶν πραγμάτων φύσει. Φανερὸν οὖν, ὅτι τὸ εἶναι ἐστὶν ἄλλο παρὰ τὴν οὐσίαν ἢ τὸ τί ἐστιν, εἰ μὴ ἴσως εἴη τι πρᾶγμα, οὕτινος ἡ οὐσία ἐστὶ τὸ εἶναι αὐτοῦ, καὶ τοῦτο τὸ πρᾶγμα οὐ δύναται εἶναι εἰ μὴ ἓν καὶ πρῶτον, διότι ἀδύνατόν ἐστι γενέσθαι πληθυσμόν τινος εἰ μὴ προσθήκῃ τινὸς διαφορᾶς, ὥσπερ πολλαπλασιάζεται ἢ πληθύνεται ἡ τοῦ γένους φύσις εἰς τὰ εἴδη ἢ τῷ τὴν φύσιν προσλαμβάνεσθαι ἐν διαφόροις ὕλαις, ὥσπερ πληθύνεται ἡ φύσις τοῦ εἴδους ἐν πολλοῖς ἀτόμοις; ἢ τῷ θάτερον μὲν εἶναι ἀπολελυμένον, θάτερον δὲ ἐν ἄλλῳ προσειλημμένον, ὥσπερ εἰ ἦν τι χρῶμα κεχωρισμένον, ἦν ἄλλο παρὰ τὸ ἀχώριστον χρῶμα ἐξ αὐτοῦ τοῦ ἰδίου χωρισμοῦ. Εἰ δὲ τιθοῖτο πρᾶγμά τι, ὅπερ ἐστὶ τὸ εἶναι αὐτοῦ οὕτως ὥστε αὐτὸ τὸ εἶναι τυγχάνειν | (f. 284 v) ὑφεστώς, τοῦτο τὸ εἶναι οὐ δέξεται προσθήκην διαφορᾶς, διότι ἤδη οὐκ ἂν ἦν εἶναι μόνον, ἀλλὰ εἶναί τε καὶ εἶδος τόδε τι· καὶ πολλῷ ἧττον δέξεται τὴν προσθήκην τῆς ὕλης, διότι ἦν ἂν εἶναι μὴ ὑφεστὼς ἀλλὰ ἔνυλον. Ὅθεν καταλείπεται τὸ τοιοῦτον πρᾶγμα, ὅπερ ἐστὶ τὸ εἶναι αὐτοῦ, μὴ δύνασθαι εἶναι εἰ μὴ ἕν. Ὅθεν δεῖ ἐν ἅπαντι πράγματι παρεκτὸς τῆς πρώτης αἰτίας ὑπάρχειν τι τὸ εἶναι αὐτοῦ καὶ ἄλλο τι τὴν οὐσίαν ἢ τὴν φύσιν ἢ τὸ εἶδος αὐτοῦ. Ὅθεν δεῖ τὴν τοῦ εἶναι ἔννοιαν τυγχάνειν ἄλλο τι παρὰ τὸ εἶδος, καὶ διὰ τοῦτο εἴρηται, ὅτι ἡ νόησις ἐστὶν εἶναι καὶ εἶδος.

4. Πᾶν δὲ τὸ ἁρμόζον τινὶ ἢ ἐκ τῶν ἀρχῶν μόνον ἐστὶν τῆς αὐτοῦ φύσεως, ὥσπερ τὸ γελαστικὸν ἐν τῷ ἀνθρώπῳ, ἢ ἐπεισέρχεται ἀπό τινος ἀρχῆς ἐξωτερικῆς, ὥσπερ τὸ φῶς ἐν τῷ ἀέρι ἐκ τῆς ἐπιρροῆς τοῦ ἡλίου. Οὐ δύναται δὲ εἶναι ἀληθές, ὅτι αὐτὸ τὸ εἶναι παράγεται ἀπ' αὐτοῦ τοῦ εἴδους ἢ τῆς οὐσίας τοῦ πράγματος, λέγω ὡς ἐξ αἰτίας ποιητικῆς, διότι οὕτως πρᾶγμά τι ἦν ἂν αἴτιον ἑαυτοῦ, καὶ τὶ πρᾶγμα προήγαγεν ἂν ἑαυτὸ εἰς τὸ εἶναι, ὅπερ ἐστὶν ἀδύνατον. Δεῖ τοίνυν ἐκεῖνο, οὗ τὸ εἶναι

---

6 *τῆς οὐσίας — εἶναι*: *τῆς ὑπάρξεως ἢ τῆς οὐσίας* CD 9 *ἢ ὕπαρξις* après *οὐσία* add CD, effacé dans AB 12 *τὸ τί ἐστιν*: *τὴν ὕπαρξιν* CD 13 *οὐσία*: *ὕπαρξις* CD 17 *εἴδους*: *γένους* CD 21 *αὐτοῦ*: *μόνον* CD *τὸ* (1°) om CD 27 *οὐσίαν*: *φύσιν* CD 34 *οὐσίας*: *ὑπάρξεως* CD

ἄλλο τι ἐστὶν ἢ ἡ φύσις, ἔχειν τὸ εἶναι ἀπ' ἄλλου· καὶ ἐπειδὴ πᾶν ὅπερ ἔστι δι' ἄλλο ἀνάγεται πρὸς τὸ καθ' αὑτὸ ὂν ὡς εἰς πρώτην αἰτίαν, δεῖ εἶναί τι τὸ αἴτιον τοῦ εἶναι πᾶσι τοῖς πράγμασι διὰ τὸ αὐτὸ τυγχάνειν εἶναι μόνον· ἄλλως γὰρ ἐπ' ἄπειρον ἂν ἐν τοῖς αἰτίοις ἡ πρόοδος γίνοιτο, ἐπεὶ πᾶν ὅπερ οὐκ ἔστιν εἶναι μόνον, ἔχει αἰτίαν τοῦ ἰδίου εἶναι, ὡς εἴρηται. Δῆλον οὖν, ὅτι ἡ νόησίς ἐστιν εἶδος καὶ εἶναι, καὶ ἐπεὶ τὸ εἶναι ἔχει ἀπὸ τοῦ πρώτου ὄντος, ὅπερ ἐστὶν εἶναι μόνον, καὶ τοῦτ' ἔστιν ἡ πρώτη αἰτία, ἥτις ἐστὶν ὁ Θεός.

5. Πᾶν δὲ τὸ δεχόμενόν τι ἀπό τινος ἐστὶν ἐν δυνάμει τῇ πρὸς ἐκεῖνο ἀποβλέψει, καὶ τοῦθ' ὅπερ ἐν αὐτῷ προσειλημμένον ἐστίν, ἐντελέχεια αὐτοῦ ἐστιν. Δεῖ δὴ διὰ ταῦτα τὴν ὕπαρξιν αὐτὴν ἢ τὸ εἶδος, ὅπερ ἐστὶν ἡ νόησις, ἐν τῇ πρὸς τὸ εἶναι ἀποβλέψει εἶναι κατὰ τρόπον δυνάμεως, καὶ τὸ προσειλημμένον εἶναι κατὰ τρόπον ἔχειν ἐνεργείας, καὶ οὕτως εὑρίσκεται δύναμις καὶ ἐνέργεια ἐν ταῖς νοήσεσιν εἴτουν τοῖς νοῖς οὐχ ὕλη καὶ εἶδος, εἰ μὴ ὁμωνύμως. Ὅθεν καὶ τὸ πάσχειν καὶ δέχεσθαι καὶ ὑποκεῖσθαι καὶ πάντα δὴ τὰ τοιαῦτα, ἃ τῷ τῆς ὕλης λόγῳ τοῖς πράγμασι προσήκειν λέγονται, ὁμωνύμως ἁρμόζουσι τοῖς πράγμασιν, ἢ ταῖς οὐσίαις ταῖς νοεραῖς καὶ ταῖς σωματικαῖς, ὡς ἐν τῷ τετάρτῳ περὶ ψυχῆς ὁ Ἀβερόης φησίν. Καὶ διότι, ὡς εἴρηται, ἡ οὐσία τῆς νοήσεως ἐστὶν αὐτὴ ἡ νόησις, διὰ τοῦτο τὸ εἶδος ἢ ἡ οὐσία αὐτῆς ἐστιν αὐτὸ ὅπερ ἐστίν, καὶ τὸ εἶναι αὐτῆς, τὸ ἐκ Θεοῦ προσειλημμένον, ἔστι τὸ ᾧ ἔστιν ἢ ὑφέστηκεν ἐν τῇ τῶν πραγμάτων φύσει· | καὶ διὰ τοῦτο ὑπό τινων λέγεται τὰς τοι- f. 285
αύτας οὐσίας συγκεῖσθαι ἐκ τοῦ ᾧ ἔστι καὶ ὅπερ ἐστίν, ἢ ἐκ τοῦ ὃ ἔστι καὶ τοῦ εἶναι, ὥς φησιν ὁ Βοήτιος. Καὶ διότι ἐν ταῖς νοήσεσι τίθεται δύναμις καὶ ἐνέργεια, οὐχ ἔσται χαλεπὸν εὑρεῖν τὸ τῶν νοήσεων πλῆθος, ὅπερ ἦν ἂν ἀδύνατον, εἰ μηδεμία ἐν αὐταῖς δύναμις ἦν. Ὅθεν Ἀβερόης φησὶν ἐν τρίτῳ περὶ ψυχῆς, ὅτι εἰ ἡ φύσις τοῦ δυνάμει νοῦ ἠγνοεῖτο, οὐκ ἂν ἠδυνάμεθα εὑρεῖν τὸ ἐν ταῖς χωρισταῖς οὐσίαις πλῆθος.

Ἔστιν οὖν αὐτῶν διαφορὰ πρὸς ἀλλήλας κατὰ τὸν βαθμὸν τῆς δυνάμεως καὶ τῆς ἐνεργείας οὕτως, ὥστε τὴν ὑψηλοτέραν νόησιν, ἥτις μᾶλλον ἐγγίζει τῇ πρώτῃ, πλέον, ἔχειν ἐνεργείας, καὶ δυνάμεως ἔλαττον, οὕτω δὲ καὶ ἐπὶ τῶν ἄλλων· καὶ τοῦτο τελειοῦται ἐν τῇ ἀνθρωπίνῃ ψυχῇ, ἥτις ἐπέχει τὴν ἐσχάτην τάξιν ἐν ταῖς νοεραῖς οὐσίαις. Ὅθεν ὁ δυνάμει νοῦς αὐτῆς ἔχει πρὸς τὸ νοητὸν εἶδος ὡς ἡ πρώτη ὕλη, ἡ ἔχουσα τὴν ἐσχάτην τάξιν ἐν τῷ αἰσθητῷ εἶναι, πρὸς τὰ αἰσθητὰ εἴδη, καθά φησι Ἀβερόης ἐν τῷ τρίτῳ περὶ ψυχῆς· καὶ διὰ τοῦτο ὁ Φιλόσοφος παραβάλλει ταύτην

---

**6** *ἐπεὶ*: **il faudrait** ὅτι **20** *τὸ εἶδος*: *ἡ ὕπαρξις* **CD** **26** *ἂν* **om CD**
**27** *τῷ* **après** *ἐν* **add CD** **34** *νοητὸν*: *νοερὸν* **CD** **36** *ταύτην*, **rapporté à** *ψυχήν*.
**L'original exigerait** *τοῦτον* (= *τὸν δυνάμει νοῦν*)

Ε.Υ. Δήμος τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

πίνακι ἐν ᾧ οὐδέν ἐστι γεγραμμένον. Καὶ διὰ τὸ ἐν ταῖς ἄλλαις οὐσίαις ταῖς νοεραῖς πλέον ἔχειν αὐτὴν δυνάμεως, διὰ τοῦτο γίνεται εἰς τοσοῦτον προσεχὴς τοῖς ἐνύλοις πράγμασιν ὥστε τὸ ἔνυλον πρᾶγμα ἕλκεσθαι πρὸς κοινωνίαν τοῦ εἶναι αὐτῆς, οὕτω δηλονότι, ὥστε ἐκ ψυχῆς τε καὶ σώματος ἀναθρῴσκειν ἓν εἶναι ἐν τῷ συνθέτῳ τούτων, εἰ καὶ τοῦτο τὸ εἶναι καθὸ ἐστιν ἐν τῇ ψυχῇ, οὐκ ἔστιν ἠρτημένον τοῦ σώματος. Καὶ διὰ τοῦτο, μετὰ τοῦτο τὸ εἶδος, ὅπερ ἐστὶν ἡ ψυχή, εὑρίσκονται εἴδη ἄλλα πλεῖον δυνάμεως ἔχοντα καὶ προσεγγίζοντα μᾶλλον τῇ ὕλῃ ἐπὶ τοσοῦτον, ὥστε τὸ εἶναι αὐτῶν ἄνευ ὕλης μὴ δύνασθαι εἶναι, ἐν οἷς καὶ αὐτοῖς εὑρίσκεται τάξις καὶ βαθμὸς μέχρι καὶ τῶν πρώτων εἰδῶν τῶν στοιχείων, ἅπερ προσεχέστατα τῇ ὕλῃ εἰσίν. Ὅθεν οὐδὲ ἐνέργειάν τινα ἔχουσιν, εἰ μὴ καθόσον ἀπαιτοῦσιν αἱ δραστικαὶ καὶ παθητικαὶ ποιότητες αὐτῶν καὶ τὰ ἄλλα, οἷς ἡ ὕλη πρὸς τὸ εἶδος διατίθεται.

## Chapitre VI.

1. Τούτων θεωρηθέντων, φανερὸν ἤδη ἐστὶ πῶς ἡ οὐσία ἐν τοῖς διαφόροις εὑρίσκεται πράγμασιν· εὕρηται γὰρ τριπλοῦς τρόπος τοῦ τυγχάνειν τὴν οὐσίαν ἐν ταῖς οὐσίαις εἴτουν τοῖς πράγμασιν.

Εἷς μὲν γάρ ἐστι τρόπος, ὥσπερ ἐν τῷ Θεῷ, οὗτινος ἡ οὐσία ἐστὶ τὸ εἶναι αὐτοῦ, καὶ διὰ τοῦτο εὑρίσκονταί τινες φιλόσοφοι λέγοντες, ὅτι ὁ Θεὸς οὐκ ἔχει οὐσίαν, διότι ἡ οὐσία αὐτοῦ οὐκ ἔστιν ἕτερον ἢ τὸ εἶναι αὐτοῦ. Καὶ ἐκ τούτου ἕπεται μὴ εἶναι αὐτὸν ἐν γένει, διότι πᾶν ὅπερ ἐστὶν ἐν γένει δεῖ ἔχειν οὐσίαν παρὰ τὸ εἶναι αὐτοῦ, ἐπειδὴ ἡ οὐσία, ἢ
f. 285v ἡ φύσις τοῦ γένους ἢ τοῦ εἴδους, οὐ διακρίνονται κατὰ τοὺς λόγους | τῆς φύσεως ἐν ἐκείνοις ὧν ἐστι τὸ γένος ἢ τὸ εἶδος, ἀλλὰ τὸ εἶναι ἐστὶ διάφορον ἐν τοῖς διαφόροις. Ἀλλ' οὐδ' εἰ φαμὲν ὅτι ὁ Θεός ἐστιν εἶναι μόνον, δεῖ καὶ εἰς τὴν πλάνην ἐμπίπτειν τῶν εἰρηκότων τὸν Θεὸν ὑπάρχειν τὸ αὐτὸ τῷ καθόλου, ᾧ πᾶν πρᾶγμα εἰδικῶς ἐστι. Τουτὶ γὰρ τὸ εἶναι ὅπερ ὁ Θεός ἐστιν, τοιαύτης ἐστὶν ἰδιότητος ὡς μηδεμίαν αὐτῷ προσθήκην δύνασθαι γίνεσθαι. Ὅθεν δι' αὐτῆς τῆς καθαρότητος αὐτοῦ ἐστιν εἶναι διακεκριμένον ἀπὸ παντὸς ἄλλου εἶναι· διὸ καὶ ἐν τῇ ἐξηγήσει τῆς ἐννάτης προτάσεως τοῦ περὶ αἰτιῶν βιβλίου λέγεται, ὅτι ἡ ἀτομότης τῆς πρώτης οὐσίας, ἥτις ἐστὶν εἶναι μόνον, ἔστι διὰ τῆς εἰλικρινοῦς ἀγαθότητος αὐτῆς· τὸ δὲ κοινὸν εἶναι ὥσπερ ἐν τῇ ἐννοίᾳ αὐτοῦ οὐκ ἐγκλείει τινὰ προσθήκην, οὕτως οὐδ' ἐγκλείει τῇ ἰδίᾳ ἐννοίᾳ ἀποτομήν τινα καὶ ἀφαίρεσιν προσθέσεως· εἰ γὰρ τοῦτο ἦν, οὐδὲν ἂν ἠδύνατο νοεῖσθαι, ἐν ᾧ προστιθοῖτο ἄν τι ἐπὶ τῷ εἶναι. Ὡσαύτως δὲ καὶ εἰ ἔστι μόνον εἶναι, οὐ δεῖ ἐλλείπειν αὐτῷ

---

21 *ὕπαρξιν εἴτουν* add CD après *ἔχει*  23 *οὐσίαν*: *ὕπαρξιν* CD  *οὐσία*: *ὕπαρξις* CD  24 *τοὺς λόγους* corrigé de *τὸν λόγον* dans AB

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὰς λοιπὰς τελειότητας καὶ εὐγενείας, μᾶλλον μὲν οὖν ἔχειν ἀνάγκη πάσας τὰς ἐν πᾶσι τοῖς γένεσι τελειότητας, διόπερ αὐτὸς μόνος λέγεται εἶναι τέλειος ἁπλῶς, ὡς ὁ Φιλόσοφος καὶ ὁ Ἀβερόης φασὶν ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικά· ἀλλ' ἔχει ταύτας ὑψηλοτέρῳ τρόπῳ καὶ βελτίονι πάντων, διότι ἐν ἐκείνῳ ἕν εἰσιν, ἀλλ' ἐν τοῖς ἄλλοις διαφορὰν ἔχουσι. Καὶ τοῦτ' ἔστι διὰ τὸ πάσας ἐκείνας τὰς τελειότητας προσήκειν αὐτῷ κατὰ τὸ ἴδιον εἶναι ἁπλῶς· ὡς γὰρ εἴ τις διὰ μιᾶς ποιότητος ἀποτελεῖν ἠδύνατο τὰς ἐνεργείας τῶν ποιοτήτων ἁπασῶν, ἐν ἐκείνῃ τῇ ποιότητι ἐλέγοντο ἂν πᾶσαι αἱ ποιότητες ἔχεσθαι, οὕτω καὶ ὁ Θεὸς ἐν αὐτῷ τῷ ἰδίῳ εἶναι πάσας τὰς τελειότητας ἔχει.

2. Δεύτερον τρόπον εὑρίσκεται ἡ οὐσία ἐν ταῖς κτισταῖς φύσεσι ταῖς νοεραῖς, ἐν αἷς ἐστιν ἕτερον τὸ εἶναι ἢ ἡ οὐσία αὐτῶν, εἰ καὶ ἡ οὐσία ὑπάρχει ἐκεῖ χωρὶς ὕλης. Ὅθεν τὸ εἶναι αὐτῶν οὐκ ἔστιν ἀπολελυμένον, ἀλλὰ προσειλημμένον, καὶ διὰ τοῦτο ὥσπερ περιγεγραμμένον καὶ ὡρισμένον πρὸς τὴν δεκτικότητα τῆς προσλαμβανούσης αὐτὸ φύσεως· ἀλλ' ἡ φύσις ἢ ἡ οὐσία αὐτῶν ἐστὶν ἀπολελυμένη, οὐ προσειλημμένη ἔν τινι ὕλῃ· καὶ διὰ τοῦτο λέγεται ἐν τῷ περὶ αἰτιῶν βιβλίῳ, ὅτι αἱ νοήσεις εἰσὶν ὡρισμέναι κατὰ τὸ ἄνω καὶ ἀόριστοι κατὰ τὸ κάτω· εἰσὶ γὰρ ὡρισμέναι ὅσον πρὸς τὸ εἶναι αὐτῶν, ὅπερ ἄνωθεν λαμβάνουσιν, οὐ μέντοι ὁρίζονται κάτω, διότι τὰ εἴδη αὐτῶν οὐ περιγράφονται πρὸς τὴν δεκτικότητα ὕλης τινὸς τῆς προσλαμβανούσης αὐτά, καὶ διὰ τοῦτο ἐν ταῖς τοιαύταις οὐσίαις οὐχ εὑρίσκεται πλῆθος ἀτόμων ἐν ἑνὶ εἴδει, ὡς εἴρηται, εἰ μὴ ἐν τῇ ψυχῇ διὰ τὸ σῶμα, ᾧ ἥνωται.

Εἰ γοῦν καὶ ἡ ἀτομότης αὐτῆς αἰτιωδῶς (1) ἢ ὡς ἐκ προφάσεως τοῦ σώματος ἤρτηται ὅσον πρὸς τὴν ἀρχὴν αὐτῆς, διότι οὐ περιγίνεται αὐτῇ τὸ ἀτομικὸν εἶναι εἰ μὴ ἐν τῷ σώματι οὗ ἐστιν ἐντελέχεια, | ἀλλ' οὐ δεῖ διὰ τοῦτο, καὶ τοῦ σώματος ἀφελκυσθέντος, ἀπόλλυσθαι τὴν ἀτομότητα, διότι ἐπειδὴ ἀφ' ἑαυτῆς ἔχει εἶναι ἀπολελυμένον τοῦ σώματος, περιγίνεται δὲ αὐτῇ τὸ ἀτομικὸν εἶναι ἐκ τοῦ γίνεσθαι εἶδος τούτου τοῦ σώματος, τοῦτο τὸ εἶναι ἀεὶ διαμένει ἄτομον· καὶ διὰ τοῦτο φησὶν Ἀβινσένας, ὅτι ἡ ἀτομότης καὶ ὁ πληθυσμὸς τῶν ψυχῶν ἤρτηται ἐκ τοῦ σώματος ὅσον f. 286

(1) Σχολαρίου. Τὸ αἰτιωδῶς ἐνταῦθα ἀπὸ τῆς αἰτίας ἧς ἄνευ οὔ, ἣ καὶ ἔτυχεν ἰδίου ὀνόματος παρὰ Λατίνοις· κυρίως γὰρ αἰτία ἐστὶν ἐξ ἧς καθ' αὑτὸ ἕπεται τὸ ἀποτέλεσμα. Ἀλλ' οὐ περὶ ταύτης νῦν. Note autographe de Scholarios.

**16 *οὐσία*: *ὕπαρξις* CD *αὐτῶν ἐστιν* sic B, conformément à l'original: *οὐκ ἔστιν .... οὐδὲ* ACD *οὐκ* a été gratté dans B 22 *ἄτομον* D 24 *αἰτιωδῶς* représente la leçon de CD, *ὡς ἐκ προφάσεως* celle de B; dans AB la note destinée à expliquer *αἰτιωδῶς* se retrouve, bien que *αἰτιωδῶς* ait été effacé**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... Ε.Υ.ΣΤΙΚ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

πρὸς τὴν ἀρχὴν αὐτῶν, ἀλλ' οὐχ ὅσον πρὸς τὸ τέλος. Καὶ διότι ἐν ταύταις ταῖς οὐσίαις τὸ τί εἶναι οὐκ ἔστι ταὐτὸν τῷ εἶναι, διὰ τοῦτο δύνανται τάττεσθαι ἐν τῇ κατηγορίᾳ, καὶ διὰ τοῦτο εὑρίσκεται ἐν αὐταῖς γένος, εἶδος καὶ διαφορά, εἰ καὶ αἱ κύριαι διαφοραὶ αὐτῶν ἡμᾶς λελήθασιν. Καὶ ἐν αὐτοῖς γὰρ τοῖς αἰσθητοῖς πράγμασιν αἱ οὐσιώδεις διαφοραὶ ἄγνωστοι εἰσίν· ὅθεν σημαίνονται διαφοραῖς ταῖς κατὰ συμβεβηκός, ταῖς ἐκ τῶν οὐσιωδῶν ἀνισχούσαις, ὥσπερ ἡ αἰτία σημαίνεται τῷ ἰδίῳ ἀποτελέσματι, ᾗ καὶ τὸ δίπουν τίθεται διαφορὰ τοῦ ἀνθρώπου. Τὰ δὲ κυρίως συμβεβηκότα τῶν ἀΰλων οὐσιῶν ἡμῖν ἄγνωστα εἰσίν. Ὅθεν αἱ τούτων διαφοραὶ τῶν οὐσιῶν οὔτε καθ' αὑτὰς οὔτε διὰ τῶν κατὰ συμβεβηκὸς διαφορῶν σημαίνεσθαι δύνανται.

Τοῦτο μέντοι γε εἰδέναι δεῖ, ὅτι οὐ τῷ αὐτῷ τρόπῳ λαμβάνεται τὸ γένος καὶ ἡ διαφορὰ ἔν τε ἐκείναις ταῖς οὐσίαις καὶ ταῖς οὐσίαις ταῖς αἰσθηταῖς, διότι ἐν ταῖς αἰσθηταῖς οὐσίαις τὸ γένος λαμβάνεται ἀπ' ἐκείνου ὅπερ ἐστὶν ὑλικὸν ἐν τῷ πράγματι, ἡ διαφορὰ δέ, ἀπὸ τοῦ ἐν αὐτῷ εἰδικοῦ. Ὅθεν φησὶν Ἀβινσένας ἐν τῷ πρώτῳ τοῦ περὶ ψυχῆς αὐτοῦ βιβλίῳ, ὅτι τὸ εἶδος ἐν τοῖς συνθέτοις πράγμασιν ἐξ ὕλης καὶ εἴδους ἐστὶ διαφορὰ ἁπλῆ τοῦ ἐκ ταύτης συνισταμένου, οὐ μέντοι γε οὕτως, ὥστε αὐτὸ τὸ εἶδος εἶναι διαφοράν, ἀλλ' ὅτι ἔστιν ἀρχὴ διαφορᾶς, ὡς ὁ αὐτός φησιν ἐν τῇ μετὰ τὰ φυσικὰ αὐτοῦ. Καὶ λέγεται ἡ τοιαύτη διαφορὰ διαφορὰ εἶναι ἁπλῆ διὰ τὸ λαμβάνεσθαι ἐξ ἐκείνου ὅπερ ἐστὶ μέρος τῆς οὐσίας τοῦ πράγματος, δηλονότι τοῦ εἴδους. Διότι δὲ αἱ ἄϋλοι οὐσίαι εἰσὶν οὐσίαι ἁπλαῖ, οὐ δύναται λαμβάνεσθαι ἐν αὐταῖς ἡ διαφορὰ παρ' ἐκείνου ὅπερ ἐστὶ μέρος τῆς οὐσίας, ἀλλ' ἀπὸ τῆς οὐσίας ὅλης· καὶ διὰ τοῦτο ἐν τῇ ἀρχῇ τοῦ περὶ ψυχῆς φησὶν Ἀβινσένας, ὅτι διαφορὰν ἁπλῆν οὐκ ἔχουσιν, εἰ μὴ τὰ εἴδη ὧν αἱ οὐσίαι σύνθετοί εἰσιν ἐξ ὕλης καὶ εἴδους. Ὁμοίως δὲ καὶ ἐν αὐταῖς ἐξ ὅλης τῆς οὐσίας λαμβάνεται τὸ γένος, διαφόρῳ μέντοι γε τρόπῳ· μία γὰρ οὐσία κεχωρισμένη συμβαίνει μετὰ ἄλλης τῇ ἀϋλίᾳ, διαφέρουσι δὲ ἀλλήλων τῷ βαθμῷ τῆς τελειότητος κατὰ τὴν ἀποχώρησιν τοῦ δυνάμει καὶ ἐγγύτητα πρὸς τὴν πρώτην ἐνέργειαν·
286v καὶ διὰ τοῦτο ἀπὸ τοῦ παρεπομένου ταύταις, | ἐφόσον εἰσὶν ἄϋλοι, λαμβάνεται ἐν αὐταῖς τὸ γένος, οἷον ἡ νοερότης ἤ τι τοιοῦτον· ἀπὸ δὲ τοῦ παρεπομένου ἐν αὐταῖς τῷ βαθμῷ τῆς τελειότητος λαμβάνεται ἐπ' αὐτῶν ἡ διαφορά, ἡμῖν μέντοι γε ἄγνωστος.

Οὐδὲ δεῖ τὰς διαφορὰς εἶναι κατὰ συμβεβηκός, διότι λαμβάνονται κατὰ τὴν μείζω καὶ ἐλάττω τελειότητα, αἵτινες διάφορον ποιοῦσι τὸ

---

2 *τὸ τί εἶναι*: *ἡ ὕπαρξις* CD 19 *ὁ* om CD 22 *οὐσίας*: *ὑπάρξεως* CD (= *quidditatis*) 23 *οὐσίαι* (2°): *ὑπάρξεις* (= *quidditates*) *ἁπλῶς* CD 24 *οὐσίας* (1°): *ὑπάρξεως* CD *οὐσίας* (2°): *ὑπάρξεως* 26 *οὐσίαι*: *ὑπάρξεις* CD 34 *γε* om CD

εἶδος, οὐχ ὥσπερ τὸ μᾶλλον λευκὸν καὶ τὸ ἧττον λευκὸν ἐν τῷ μετέχειν τῆς λευκότητος τοῦ αὐτοῦ λόγου, ἀλλ' ὁ διάφορος βαθμὸς τῆς τελειότητος ἐν αὐτοῖς τοῖς εἴδεσιν ἢ ταῖς φύσεσι μετεχόμενος διάφορον ποιεῖ καὶ ποικίλλει τὸ εἶδος, ὥσπερ ἡ φύσις πρόεισι κατὰ βαθμοὺς ἐκ τῶν φυτῶν εἰς τὰ ζῷα διά τινων, ἅπερ εἰσὶ μέσα (μεταξύ, δῆλον) τῶν φυτῶν καὶ τῶν ζῴων κατὰ τὸν Φιλόσοφον ἐν τῷ περὶ ζῴων ἑβδόμῳ.

Οὐδὲ πάλιν ἐστὶν ἀναγκαῖον τὴν διαίρεσιν τῶν νοερῶν οὐσιῶν εἶναι ἀεὶ διὰ δύο διαφορῶν ἀληθῶν, διότι τοῦτ' ἀδύνατόν ἐστιν ἐν πᾶσι πράγμασι συμβαίνειν, ὡς ὁ Φιλόσοφος ἐν τῷ ἑνδεκάτῳ περὶ ζῴων φησίν.

3. Τρίτον δὲ τρόπον εὑρίσκεται ἡ οὐσία ἐν ταῖς οὐσίαις ταῖς συγκειμέναις ἐξ ὕλης καὶ εἴδους, ἐν αἷς καὶ τὸ εἶναι προσειλημμένον ἐστὶν καὶ ὡρισμένον, καθότι ἀπ' ἄλλου ἔχουσι τὸ εἶναι· καὶ αὖθις ἡ φύσις αὐτῶν ἢ ἡ οὐσία προσείληπται ἐν ὕλῃ ἀφωρισμένῃ τε καὶ σεσημειωμένῃ, καὶ διὰ τοῦτο εἰσὶν ὡρισμέναι ἄνω τε καὶ κάτω· καὶ ἐν αὐταῖς διὰ τὴν διαίρεσιν τῆς ἀφωρισμένης ὕλης ἐνδεχόμενός ἐστιν ὁ πληθυσμὸς τῶν ἀτόμων ἐν ἑνὶ εἴδει. Καὶ ἐν αὐταῖς πῶς ἔχει ἡ οὐσία πρὸς τὰς λογικὰς ἐπινοίας, εἴρηται.

## Chapitre VII.

1. Νῦν λείπεται θεωρεῖν πῶς ἂν εἴη ἡ οὐσία ἐν τοῖς συμβεβηκόσι. Πῶς γάρ ἐστιν ἐν πάσαις ταῖς οὐσίαις, εἴρηται. Καὶ ἐπειδή, ὡς εἴρηται, ἡ οὐσία ἐστὶ τὸ διὰ τοῦ ὁρισμοῦ σημαινόμενον, δεῖ ταῦτα τῷ αὐτῷ τρόπῳ τὴν οὐσίαν ἔχειν ᾧ καὶ τὸν ὁρισμὸν ἔχουσιν· τὸν δὲ ὁρισμὸν ἔχουσιν ἀτελῆ, διότι οὐ δύνανται ὁρίζεσθαι εἰ μὴ τεθείη τὸ ὑποκείμενον ἐν τῷ τούτων ὁρισμῷ· καὶ τούτου αἰτία ἐστίν, ὅτι οὐκ ἔχουσι τὸ εἶναι ἀπολελυμένον καθ' αὑτὸ ἀπὸ τοῦ ὑποκειμένου, ἀλλ' ὥσπερ ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης καταλείπεται ἓν εἶναι τὸ οὐσιῶδες, ὅταν συντιθῶνται, οὕτως ἐκ τῶν συμβεβηκότων καὶ τοῦ ὑποκειμένου καταλείπεται τὸ κατὰ συμβεβηκὸς εἶναι, ὅτε τὸ συμβεβηκὸς ἐπεισέρχεται τῷ ὑποκειμένῳ. Καὶ διὰ τοῦτο οὔτε τὸ οὐσιῶδες εἶδος τελείαν ἔχει τὴν οὐσίαν, οὔτε ἡ ὕλη, διότι κἂν τῷ ὁρισμῷ τοῦ οὐσιώδους εἴδους δεῖ τίθεσθαι τὸ οὗ ἐστιν εἶδος, καὶ οὕτως ὁ ὁρισμὸς αὐτοῦ ἐστι κατὰ προσθήκην τινός, ὅπερ ἐστὶν ἔξω τοῦ γένους αὐτοῦ, ὥσπερ καὶ ὁ ὁρισμὸς τοῦ κατὰ συμβεβηκὸς εἴδους. Ὅθεν καὶ ἐν τῷ ὁρισμῷ τῆς ψυχῆς τίθεται τὸ σῶμα ὑπὸ τοῦ φυσικοῦ, διότι θεωρεῖ τὴν ψυχὴν καθόσον μόνον ἐστὶν εἶδος | τοῦ φυσικοῦ σώματος. f. 287

Ἀλλ' ὅμως ἐν τοῖς οὐσιώδεσιν εἴδεσι καὶ τοῖς κατὰ συμβεβηκὸς αὕτη ἡ διαφορά, ὅτι, ὥσπερ τὸ οὐσιῶδες εἶδος οὐκ ἔχει καθ' αὑτὸ εἶναι ἀπο-

---

2 ἀλλ' ὁ: ἀλλὰ CD   6 ἑβδόμῳ: ὀγδόῳ CD   12-13 ἡ φύσις ... οὐσία: ἡ φυσικὴ αὐτῶν ὕπαρξις CD   13 τε om CD   29 ὅτε τὸ: ὅτε κατὰ CD

ΙΩΑΝΝΙΝΑ 2006

λελυμένον χωρὶς τοῦ ᾧ ἐπεισέρχεται, οὕτως οὐδὲ τὸ ᾧ πρόσεισι, δηλονότι ἡ ὕλη, ἔχει τὸ εἶναι ἄνευ τοῦ εἴδους· καὶ διὰ τοῦτο ἐκ τῆς ἀμφοτέρων συναφείας καταλείπεται τοῦτο τὸ εἶναι, ἐν ᾧ τὸ πρᾶγμα ὑφίσταται καθ' αὑτό, καὶ ἐξ αὐτῶν ἀποτελεῖται ἕν· διὸ ἐκ τῆς αὐτῶν συνδρομῆς καταλείπεται οὐσία τις. Ὅθεν τὸ εἶδος, εἰ καὶ ἐν ἑαυτῷ θεωρούμενον μὴ ἔχοι ἐντελῆ τὸν τῆς οὐσίας λόγον, ἔστιν ὅμως μέρος τελείας οὐσίας. Ἀλλ' ᾧ ἐπεισέρχεται τὸ συμβεβηκός, τοῦτ' ἔστιν ὂν τέλειον, ὑφεστὼς ἐν τῷ ἰδίῳ εἶναι· ὃ δὴ εἶναι φυσικῶς προηγεῖται τοῦ συμβεβηκότος τοῦ ἐπεισιόντος· καὶ διὰ τοῦτο τὸ ἐπεισερχόμενον ἐκ τῆς συναφείας αὐτοῦ τε καὶ τοῦ ᾧ ἐπεισέρχεται οὐ ποιεῖ ἐκεῖνο τὸ εἶναι, ἐν ᾧ τὸ πρᾶγμα ὑφέστηκε, καὶ δι' οὗ τὸ πρᾶγμα ἐστὶν ὂν καθ' αὑτό, ἀλλὰ ποιεῖ τι εἶναι, οὗ ἄνευ τοῦτο τὸ πρᾶγμα τὸ ὑφεστὼς νοεῖσθαι εἶναι δύναται, ὡς τὸ πρῶτον δύναται εἶναι τοῦ δευτέρου χωρίς. Ὅθεν ἐκ τῆς λευκότητος καὶ τοῦ ὑποκειμένου οὐκ ἀποτελεῖται ἓν καθαυτό, ἀλλ' ἓν κατὰ συμβεβηκός. Καὶ διὰ τοῦτο ἐκ τῆς αὐτῶν συναφείας οὐκ ἀναθρῴσκει οὐσία τις, ὥσπερ ἐκ τῆς συναφείας τοῦ εἴδους πρὸς τὴν ὕλην· διὸ τὸ συμβεβηκὸς οὔτε λόγον τελείας οὐσίας ἔχει, οὔτε μέρος οὐσίας τελείας ἐστίν, ἀλλ' ὥσπερ ὂν ἐστι πῇ, οὕτω καὶ οὐσίαν πῇ ἔχει.

2. Ἀλλὰ διότι τὸ μάλιστά τε καὶ ἀληθέστατα λεγόμενον ἐν παντὶ γένει ἐστὶν αἰτία τῶν ὑστέρων ἐν τῷ αὐτῷ γένει, ὥσπερ τὸ πῦρ, διὰ τὸ εἶναι ἐν τῷ ἐσχάτῳ τῆς θερμότητος, ἔστιν αἰτία τῆς θέρμης ἐν τοῖς θερμοῖς πράγμασιν, ὡς ἐν τῷ δευτέρῳ τῶν μετὰ τὰ φυσικὰ λέγεται, διὰ τοῦτο ἡ οὐσία, ἥτις ἐστὶ πρῶτον ἐν τῷ γένει τοῦ ὄντος, ἀληθέστατά τε καὶ μάλιστα τὴν οὐσίαν ἔχουσα, δεόντως ἂν εἴη αἰτία τῶν συμβεβηκότων, τῶν δευτέρως καὶ ὥσπερ κατά τι τοῦ λόγου τοῦ ὄντος μετεχόντων. Ὅπερ ὅμως διαφόρως συμβαίνει· ἐπειδὴ γὰρ μέρη τῆς οὐσίας εἰσὶν ἡ ὕλη καὶ τὸ εἶδος, διὰ τοῦτο τινὰ συμβεβηκότα ἀρχοειδῶς καὶ προηγουμένως παρέπονται τῷ εἴδει, καί τινα τῇ ὕλῃ. Εὑρίσκεται δέ τι εἶδος, οὗ τὸ εἶναι οὐκ ἤρτηται τῆς ὕλης, οἷον ἡ νοερὰ ψυχή· ἡ δὲ ὕλη οὐκ ἔχει τὸ εἶναι εἰ μὴ διὰ τοῦ εἴδους. Ὅθεν ἐν τοῖς συμβεβηκόσι τοῖς ἑπομένοις τῷ εἴδει ἔστι τι μὴ ἔχον κοινωνίαν μετὰ τῆς ὕλης, ὥσπερ ἐστὶ τὸ νοεῖν, ὅπερ οὐκ ἔστι δι' ὀργάνου σωματικοῦ, καθὼς ἀποδείκνυσιν ὁ Φιλόσοφος ἐν τῷ τρίτῳ περὶ ψυχῆς· τινὰ δὲ ἐκ τῶν ἑπομένων τῷ εἴδει ἔχουσι κοινωνίαν μετὰ τῆς ὕλης, ὥσπερ τὸ αἰσθάνεσθαι καὶ τὰ τοιαῦτα· ἀλλ' οὐδὲν συμβεβηκὸς ἕπεται τῇ ὕλῃ ἄνευ τῆς κοινωνίας τοῦ εἴδους.

f. 287v Ἐν τοῖς συμβεβηκόσι μέντοι γε τοῖς ἑπομένοις τῇ ὕλῃ | διαφορά τις εὑρίσκεται. Ἔνια μὲν γὰρ συμβεβηκότα ἕπονται τῇ ὕλῃ ὑπὸ τῇ τάξει ἣν

---

10 *τοῦ* om CD 16 *διότι* CD 18 *ὂν* om CD *πῇ* sic codd. 23 *τοῦ* om CD
29 *ἡ δὲ*: *οὐδὲ* ACD

ΙΩΑΝΝΙΝΑ 2006

ἔχουσι πρὸς τὸ εἶδος τὸ εἰδικόν, ὥσπερ τὸ ἄρρεν καὶ θῆλυ ἐν τοῖς ζῴοις, ὧν ἡ διαφορὰ πρὸς τὴν ὕλην ἀνάγεται, ὡς λέγεται ἐν τετάρτῳ τῶν μετὰ τὰ φυσικά. Ὅθεν ἀφαιρουμένου τοῦ εἴδους τοῦ ζῴου, τὰ εἰρημένα συμβεβηκότα οὐχ ὑπολείπονται εἰ μὴ ὁμωνύμως. Τινὰ δὲ αὐτῶν ἕπονται τῇ ὕλῃ κατὰ τὴν τάξιν ἣν ἔχουσι πρὸς τὸ εἶδος τὸ γενικόν, καὶ διὰ τοῦτο, ἀφαιρουμένου τοῦ εἴδους τοῦ εἰδικοῦ, ἔτι μένουσιν αὐτὰ ἐν ἐκείνῳ, ὥσπερ ἡ μελανία τοῦ δέρματος ἐν τῷ Αἰθίοπί ἐστιν ἐκ τῆς τῶν στοιχείων μίξεως καὶ οὐκ ἐκ τοῦ λόγου τῆς ψυχῆς· καὶ διὰ τοῦτο μετὰ τὸν θάνατον διαμένει.

Καὶ διότι ἕκαστον τῶν πραγμάτων ἀτομίζεται ἐκ τῆς ὕλης καὶ τίθεται ἐν γένει ἢ εἴδει διὰ τοῦ ἰδίου εἴδους, διὰ τοῦτο τὰ συμβεβηκότα τὰ ἑπόμενα τῇ ὕλῃ εἰσὶ συμβεβηκότα τοῦ ἀτόμου, καθὸ τὰ ἄτομα τοῦ αὐτοῦ εἴδους πρὸς ἄλληλα διαφέρουσιν· τὰ δὲ ἑπόμενα τῷ εἴδει συμβεβηκότα εἰσὶν ἴδια πάθη τοῦ γένους ἢ τοῦ εἴδους. Ὅθεν καὶ ἐν πᾶσιν εὑρίσκονται τοῖς μετέχουσι τῆς φύσεως τοῦ γένους ἢ τοῦ εἴδους, ὥσπερ τὸ γελαστικὸν ἐν τῷ ἀνθρώπῳ ἕπεται τῷ εἴδει διὰ τὸ τὸν γέλωτα συμβαίνειν ἔκ τινος αἰσθήσεως ἢ καταλήψεως τῆς ψυχῆς τοῦ ἀνθρώπου.

Δεῖ δὲ εἰδέναι καὶ ὅτι τὰ συμβεβηκότα ποτὲ μὲν ἐκ τῶν οὐσιωδῶν ἀρχῶν τίκτονται κατ' ἐνέργειαν τελείαν, ὥσπερ ἡ θέρμη ἐν τῷ πυρί, ὅπερ ἀεὶ ἐνεργείᾳ ἐστὶ θερμόν· ποτὲ δὲ κατ' ἐπιτηδειότητα μόνον, ἡ δὲ δραστικὴ καὶ κατ' ἐνέργειαν τελείωσις συμβαίνει ἐκ τοῦ ἐξωτερικοῦ ποιοῦντος, ὥσπερ ἡ διαφάνεια ἐν τῷ ἀέρι, ἥτις συμπληροῦται καὶ τελειοῦται διὰ τοῦ φωτεινοῦ σώματος ἔξωθεν, ἀλλὰ κατὰ τὴν ἐπιτηδειότητα ἐκ τῶν οὐσιωδῶν τοῦ ἀέρος ἀρχῶν κτίζεται. Ἐν δὲ τοῖς τοιούτοις ἡ ἐπιτηδειότης ἐστὶ συμβεβηκὸς ἀχώριστον· ἡ δὲ τελείωσις ἡ ἐπεισιοῦσα ἢ συμβαίνουσα ἔκ τινος ἀρχῆς ἔξω τυγχανούσης τῆς οὐσίας τοῦ πράγματος καὶ μὴ εἰσερχομένη εἰς τὴν τοῦ πράγματος σύστασιν, συμβεβηκός ἐστι χωριστόν, ὥσπερ τὸ κινεῖσθαι καὶ τὰ τοιαῦτα.

3. Ἔτι δὲ εἰδέναι δεῖ, ὅτι ἐν τοῖς συμβεβηκόσιν ἄλλον τρόπον λαμβάνεται τὸ γένος, ἡ διαφορὰ καὶ τὸ εἶδος ἢ ἐν ταῖς οὐσίαις. Ἐπειδὴ γὰρ ἐν ταῖς οὐσίαις ἐκ τοῦ οὐσιώδους εἴδους καὶ τῆς ὕλης ἀποτελεῖται ἓν καθαυτό, μιᾶς τινος φύσεως ἐκ τοῦ συνδέσμου τούτων ἀναθρῳσκούσης, ἥτις κυρίως ἐν τῇ κατηγορίᾳ τῆς οὐσίας ἱδρύεται, διὰ τοῦτο ἐν ταῖς οὐσίαις τὰ συγκεκριμένα ὀνόματα, ἅπερ εἰσὶ σύνθετα, κυρίως ἐν γένει εἶναι λέγονται, ὥσπερ τὰ γένη ἢ τὰ εἴδη, οἷον ὁ ἄνθρωπος ἢ τὸ ζῷον· οὐχὶ δὲ καὶ τὸ εἶδος ἢ ἡ ὕλη ἐστὶ τοῦτον τὸν τρόπον ἐν κατηγορίᾳ εἰ μὴ κατὰ ἀναγωγήν, ὥσπερ αἱ ἀρχαὶ ἐν γένει εἶναι λέγονται. Ἀλλ' ἐκ τοῦ συμβεβη-

---

2 *τετάρτῳ*: *δεκάτῳ* CD (latin: *in decimo*) *δεκάτῳ* a été corrigé dans AB 4 *αὐτῶν* om CD 19 *μόνην* CD 21 *φωτεινοῦ*: *διαφανοῦς* CD 22-23 *ἀλλὰ κατὰ .... κτίζεται* en marge AB, om CD, manque dans l'éd. Sestili 25 *καί*: *ἢ* CD *εἰσέρχεται* CD

Ε.Υ.Δ.Α.Π. ΙΩΑΝΝΙΝΑ 2006

κότος καὶ τοῦ ὑποκειμένου οὐ γίνεται ἓν καθαυτό· ὅθεν οὐκ ἀναθρώσκει ἐκ τῆς αὐτῶν συναφείας φύσις τις, ᾗ τοῦ γένους ἡ ἐπίνοια ἢ τοῦ εἴδους f. 288 δύναιτ' ἂν | ἀποδίδοσθαι. Ὅθεν τὰ τοῦ συμβεβηκότος ὀνόματα συγκεκριμένως λεγόμενα οὐ τίθενται ἐν κατηγορίᾳ ὡς εἴδη ἢ ὡς γένη εἰ μὴ κατὰ ἀναγωγήν, οἷον τὸ λευκὸν καὶ τὸ μουσικόν, ἀλλὰ μόνον καθὸ ἐξ ἀφαιρέσεως σημαίνονται, οἷον ἡ λευκότης καὶ ἡ μουσική. Καὶ διότι τὰ συμβεβηκότα οὐ συντίθενται ἐξ ὕλης καὶ εἴδους, διὰ τοῦτο οὐ δύναται λαμβάνεσθαι τὸ γένος ἀπὸ τῆς ὕλης, ἡ δὲ διαφορὰ ἀπὸ τοῦ εἴδους, ὡς ἐν ταῖς συνθέτοις οὐσίαις, ἀλλὰ δεῖ αὐτὸ τὸ γένος λαμβάνεσθαι ἐκ τοῦ τρόπου τῆς ὑπάρξεως, καθὸ αὐτὸ τὸ ὂν διαφόρως τε καὶ ποικίλως κατὰ τὸ πρότερον καὶ ὕστερον κατὰ τῶν δέκα γενῶν κατηγορεῖται, ὥσπερ ἡ ποσότης λέγεται ὂν ἐκ τοῦ εἶναι μέτρον τῆς οὐσίας, καὶ ἡ ποιότης, καθό ἐστι διάθεσις τῆς οὐσίας, οὕτω δὲ καὶ ἐπὶ τῶν ἄλλων κατὰ τὸν Φιλόσοφον ἐν τῷ ἐννάτῳ τῶν μετὰ τὰ φυσικά.

Αἱ δὲ διαφοραὶ ἐν αὐτοῖς λαμβάνονται κατὰ τὴν διαφορὰν τῶν ἀρχῶν ἐξ ὧν ἀποτίκτονται. Καὶ διότι τὰ ἴδια πάθη ἐκ τῶν ἰδίων ἀρχῶν τοῦ ὑποκειμένου γίνονται, διὰ τοῦτο τὸ ὑποκείμενον τίθεται ἐν τῷ τούτων ὁρισμῷ ἀντὶ διαφορᾶς, εἰ ἀφαιρεματικῶς ὁρίζοιντο καθό εἰσι κυρίως ἐν γένει, ὥσπερ λέγεται, ὅτι σιμότης ἐστὶ κοίλανσις ἢ κοιλότης ἐν ῥινί. Ἀλλὰ τὸ ἀνάπαλιν ἂν εἴη, εἰ ὁ τούτων ὁρισμὸς λαμβάνοιτο καθὸ συγκεκριμένως λέγονται· οὕτω γὰρ τὸ ὑποκείμενον τιθοῖτο ἂν ἐν τῷ τούτων ὁρισμῷ ὡς γένος, διότι τότε ὁρίζοιτο ἂν τῷ τρόπῳ τῶν συνθέτων οὐσιῶν, ἐν αἷς ὁ τοῦ γένους λόγος ἀπὸ τῆς ὕλης λαμβάνεται, ὥσπερ λέγομεν ὅτι σιμή ἐστι ῥὶς κοίλη. Ὡσαύτως δὲ καὶ εἰ ἓν συμβεβηκὸς ἄλλου συμβεβηκότος ἐστὶν ἀρχή, ὥσπερ ἀρχὴ τῆς ἀναφορᾶς ἐστιν ἡ ἐνέργεια καὶ τὸ πάθος καὶ ἡ ποσότης, ἐν τῷ ὁρισμῷ τοῦ ἑνὸς συμβεβηκότος δεῖ τίθεσθαι τὸ λοιπόν, ὅπερ ἐστὶν ἐκείνου ἀρχή ἢ ἀντὶ γένους, ἢ ἀντὶ διαφορᾶς, καὶ κατὰ τοῦτο διαιρεῖ ὁ Φιλόσοφος τὴν ἀναφορὰν ἐν τῷ πέμπτῳ τῶν μετὰ τὰ φυσικά.

Ἀλλ' ἐπειδὴ αἱ ἴδιαι ἀρχαὶ τῶν συμβεβηκότων οὐκ εἰσὶν ἀεὶ φανεραί, διὰ τοῦτο ἔσθ' ὅτε λαμβάνεται ἡ διαφορὰ τῶν συμβεβηκότων ἐκ τῶν ἀποτελεσμάτων αὐτῶν, ὥσπερ τὸ συγκριτικὸν καὶ τὸ διακριτικὸν λέγονται διαφοραὶ τοῦ χρώματος, ἅπερ ἀποτίκτονται ἐκ τῆς ὑπερβολῆς ἢ τῆς ὀλιγότητος τοῦ φωτός, ἐξ οὗ τὰ διάφορα εἴδη τῶν χρωμάτων γίνονται.

Οὕτως οὖν φανερόν ἐστι πῶς ὑπάρχει ἡ οὐσία ἐν τοῖς συμβεβηκόσι καὶ ταῖς οὐσίαις, καὶ πῶς ἐν ταῖς συνθέτοις οὐσίαις καὶ ταῖς ἁπλαῖς

---

5-6 *οἷον τὸ λευκὸν .... σημαίνονται* om CD 20-24 *ἀλλὰ τὸ ἀνάπαλιν — ῥὶς κοίλη*: Tout ce passage manque dans l'original latin publié par Sestili 26-27 *τῷ ὁρισμῷ — διαφορᾶς*: manque également dans l'édition de Sestili

Ε.Υ. Αρχ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ πῶς ἐν πᾶσι τούτοις αἱ ἐπίνοιαι αἱ καθόλου αἱ λογικαὶ εὑρίσκονται, ἐξῃρημένης τοῦ λόγου τῆς ἁπάντων τούτων ἀρχῆς, ἥτις ἐν τῷ τῆς ἁπλότητός ἐστιν ἐσχάτῳ καὶ ᾗ τοῦ γένους καὶ τοῦ εἴδους ὁ λόγος οὐχ ἁρμόττει, καὶ ἑπομένως οὐδὲ τῆς διαφορᾶς διὰ τὴν αὐτῆς ἁπλότητα· ἐν ᾗ καὶ τοῦ λόγου τοῦ παρόντος εἰκότως τὸ τέλος καὶ ἡ συμπλήρωσις γίνεται: †

# B. Commentaire du „De ente et essentia".

## Avant-propos.*

† Οὗτος ὁ Θωμᾶς, Λατῖνος μὲν τῷ γένει καὶ τῇ δόξῃ καὶ διαφερόμενος πρὸς ἡμᾶς ἐν οἷς καὶ ἡ Ῥωμαϊκὴ ἐκκλησία πρὸς ἡμᾶς διαφέρεται ἐξ ὀλίγων χρόνων νεωτερίσασα, τὰ δὲ ἄλλα σοφὸς καὶ τοῖς ἀναγινώσκουσιν ὠφέλιμος· καὶ πολλὰ μὲν βιβλία συνεγράψατο εἰς τὴν παλαιὰν καὶ νέαν Γραφὴν ἐξηγητικά, πολλὰ δὲ εἰς ὅλην τὴν φιλοσοφίαν καὶ ἐξηγήσεις καὶ κείμενα, ὧν πολλὰ καὶ ἡμεῖς μὲν μετεγλωττίσαμεν· ὧν ἓν καὶ τοῦτο ἐστίν, πάνυ χρησιμεῦον εἰς τὴν φιλοσοφίαν, καὶ μάλιστα τὴν θείαν. Διὰ τοῦτο μηδεὶς ταραττέσθω· ἐν οἷς γὰρ πρὸς τὴν ἁγίαν ἐκκλησίαν ἡμῶν διαφέρεται, ἀποδιϊστάμεθα αὐτοῦ, καὶ πολλὰ ἀντεγράψαμεν ταῖς συγγράμμασιν αὐτοῦ, ὧν πλήρης ἐστὶ σχεδὸν πᾶσα ἡ γῆ, ὥσπερ καὶ οἱ ἄλλοι ἡμῶν ἀγῶνες μέχρις αἵματος ὑπὲρ τῆς πατρίου δόξης μέχρι τῆς τελευταίας ἡμῶν ἀναπνοῆς δῆλοι γεγόνασι καὶ οἰκείοις καὶ ἀλλοτρίοις, καὶ ἀποβαλλόμεθα καὶ τοῦτον καὶ πάντα διαφερόμενον τῇ πατρίῳ ἡμῶν δόξῃ καὶ ἀληθείᾳ, ᾗ καὶ αὐτῶν Λατίνων πάτριος ἦν, ἀλλ' ὕστερον αὐτῆς τε καὶ ἡμῶν ἀπεσχίσθησαν, τοῖς τε ἄλλοις ἀποβάλλεσθαι συμβουλεύομεν. Ἐν οἷς δὲ οὐ διαφέρεται, καὶ σπουδαστέος ἐστὶν ὁ ἀνήρ. Εἰσὶ δὲ τὰ διαφέροντα αὐτῷ καὶ ἡμῖν καὶ ὅλως ἀμφοῖν ταῖς ἐκκλησίαις ἀριθμῷ, εἰ καὶ μὴ ὄγκῳ, βραχέα· ἐν δὲ τοῖς κεφαλαίοις τῆς πίστεως ἅπασι, πλὴν τῶν εὐαριθμήτων ἐκείνων, αἵ τε ἐκκλησίαι συμφωνοῦσιν ἄμφω καὶ οὗτος πᾶσι διδασκάλοις ἀρχαίοις Εὐρωπαίοις τε καὶ Ἀσιανοῖς· πανταχοῦ γὰρ τῶν ἀναριθμήτων αὐτοῦ συγγραμμάτων ἐκ μὲν τῶν λατινικῶν ἤτοι Εὐρωπαίων διδασκάλων τῆς πίστεως προΐσταται τὸν μακάριον Ἱλάριον, τὸν μακάριον Ἀμβρόσιον, τὸν ἔνθεον Ἱερώνυμον, τὸν ἅγιον Αὐγουστῖνον, τὸν ἅγιον Γρηγόριον τὸν Διάλογον· ἐκ δὲ τῶν Ἀσιανῶν τὸν μακάριον Γρηγόριον τὸν Θεολόγον, τὸν μέγαν Βασίλειον, τὸν ἔνθεον Χρυσόστομον καὶ τὸν ἅγιον Ἰωάννην τὸν ἐκ Δαμασκοῦ· οὓς δὴ διδασκάλους, πλὴν ἐν οἷς ὀλίγοις

Paris. Suppl. 618, f. 19v

* **A = Parisinus Suppl. 618, f. 19v, copie autographe de Scholarios.**

2 *ἐξῃρημένης* **sic codd.**



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

διαφερόμεθα, πανταχοῦ καλῶς καὶ σοφῶς πάνυ τῆς μόνης ἀληθεστάτης δόξης προΐσταται, ταὐτὸν δ' εἰπεῖν, τῆς κοινῆς τῶν Χριστιανῶν. Διὰ τοῦτο καὶ ἡμεῖς, ὡς προείρηται, ἐν τοῖς διαφόροις ἐκείνοις εὐλόγως παραγραφόμενοι, ἐν πᾶσι τοῖς ἄλλοις καὶ φιλοῦμεν καὶ ἐκθειάζομεν τὸν σοφὸν ἄνδρα τοῦτον. Διὸ καὶ τῶν ἡμετέρων ὁμιλητῶν καὶ φίλων τῷ σπουδαιοτάτῳ χαριζόμενοι, ἡρμηνεύκαμέν τε ἑλληνικῶς, εἶτα καὶ ἐξηγησάμεθα τὴν πραγματείαν ταύτην· μαθὼν γὰρ ἐξ ἡμῶν τὸ ταύτης ἐξῃρημένον, ἐδεήθη ἡμῶν τὸν τοιοῦτον ὑποστῆναι πόνον διὰ τὴν αὐτοῦ καὶ ἄλλων τῶν δυναμένων ὠφέλειαν:

Paris, Suppl. 618, f. 20 † *ἘΞΗΓΗΣΙΣ ΕἸΣ ΤΟ ΤΟΥ ΔΙΔΑΣΚΑΛΟΥ ΘΩΜΑ ἈΠΟ ΤΟΥ ἈΚΙΝΟΥ ΒΙΒΛΙΟΝ ΤΟ ΠΕΡΙ ΤΟΥ ΕΙΝΑΙ ΚΑΙ ΤΗΣ ΟΥΣΙΑΣ*: — *

† Γεώργιος ὁ Σχολάριος (1) Ματθαίῳ τῷ Καμαριώτῃ, χαίρειν: —

Προοίμιον:

Ἀεί σου τὴν εἰς τὰ καλὰ προθυμίαν καὶ τὸ φιλομαθὲς ἐπαινῶν, ἄριστε καὶ φίλτατέ μοι Ματθαῖε, ἐξ ὧν σαυτῷ τε καὶ πατρίδι λυσιτελὴς καὶ τοῖς οἰκείοις κόσμος καὶ ἡμῖν οὐ μικρά τις φιλοτιμία, Θεοῦ συνεργαζομένου σοι, γέγονας, καὶ νῦν σε θαυμάζω πάνυ δικαίως, ὅτι πρᾶγμα λυσιτελέστατον σοί τε καὶ ἄλλοις εἶναι δυνάμενον οὔτ' ἠγνόησας, οὔτε δι' ἐλάττονος σπουδῆς τὴν αὐτοῦ πεποίησαι κτῆσιν. Τοιούτους ἐβουλόμην ἐγὼ πάντας εἶναι τοὺς ἀκροασαμένους ἐμοῦ, καὶ τοιοῦτοί γε εἶεν καὶ γένοιντο. Αὐτοῖς τε γὰρ συνεύχομαι ζηλοῦν σοι τὴν προθυμίαν καὶ σὲ παραδείγματι αὐτοῖς ὑπάρξαι τῆς ἐν τοῖς βελτίοσι τῶν ἔργων φιλοτιμίας. Εἰ δὲ σέ τε κἀκείνους πάντας ὁμοίως φιλῶν, σοί γέ τι πλέον βουλοίμην, ὅθεν οὐκ ἂν αὐτοὶ γίνοιντο χείρους, οὐκ ἂν οὐδένα ὑμῶν ἀδικοίην. Καὶ εἴ μοι σχολὴ ἦν ἡ πάλαι ἐκείνη, ἧς τι καὶ αὐτὸς ἀπολελαύκεις ποτέ, κἂν πολλάς σοι χάριτας ὡμολόγησα, πρόφασίν τινα οὐκ ἀγενῆ ἡμῖν προβαλλο-

(1) † Οὗτος ἐστὶν ὁ διὰ τοῦ μοναχικοῦ σχήματος μετονομασθεὶς Γεννάδιος, τότε δὲ πρωτασηκρήτης ἦν καὶ καθολικὸς κριτὴς Ῥωμαίων, καὶ τῆς ἱερᾶς θεολογίας διδάσκαλος ἐν τῷ παλλατίῳ κεχειροτονημένος, καὶ τῆς τῶν ὀρθοδόξων συνάξεως ἐξάρχων: † Note autographe de Scholarios dans A, à la marge supérieure.

* A = Parisinus Suppl. 618, f. 19v-96v, copie autographe de Scholarios:
L = Laurentianus 86, 27, f. 1-91v, copie autographe de Scholarios;
S = Scorialensis Y. III. 13, f. 28-144, copie autographe de Scholarios.

12 *κυρῷ* avant *Ματθαίῳ* add L 14 Ce *προοίμιον* se trouve renvoyé au f. 103v dans S 25 *ὅθεν οὐκ — χείρους* om L

Ε.Υ. Δ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένῳ τοῦ ἀγαθόν τι καὶ ὠφέλιμον ἐκπεπονηκόσι νῦν τε εὐδοκιμῆσαι καὶ εἰς τὸν μετέπειτα χρόνον. Οἶσθα γὰρ ὡς τούτου μάλιστα ἡμῖν ἐν τῷ παρελθόντι γέγονε λόγος, καὶ δι' αὐτὸ πλεῖστα ἐκπεπονήκαμεν, ἃ καὶ ἄλλοις καὶ αὐτῷ σοι διὰ φροντίδος, ὡς ᾐσθήμεθα, οὐ τῆς τυχούσης ἐστί. Νῦν δὲ κινδυνεύομέν σοι καὶ ἐπιτιμᾶν, ὡς δὴ πρᾶγμα ἐπαγγείλαντι πράττειν οὔτε τῇ ἡλικίᾳ ἤδη προσῆκον· οὐ γὰρ δυνάμεθα ἔτι τοῖς τοιούτοις ἐνδιατρίβειν τε καὶ ἐμφιλοτιμεῖσθαι τῶν πόνων· ἅμα τε τῷ τε καιρῷ καὶ τοῖς πράγμασιν ἐναντίως ἔχον, ὑφ' ὧν, ὡς ὁρᾷς, ἐν ἀπορίαις καθειργμένοι πολλαῖς, ἄλλοις μᾶλλον προσέχειν ἀναγκαζόμεθα πράγμασιν· ὧν ἁπάντων τὸ χαλεπώτατόν ἐστιν, ὅτι τοῖς Αἰσωπείου διψῶσιν αἵματος, ὡς οἶσθα, καθ' ἑκάστην ἐκκείμενοι, ἐκ Θεοῦ τινα ζητοῦμεν ἀλεωρήν, ὥστ' εἴπερ οἷόν τε ἦν εὐπρεπῆ τινα ἀποφυγὴν εὑρεῖν, νῦν πρῶτον ἠπειθήσαμεν ἂν σοι διὰ τὰ εἰρημένα. Δοκεῖς γάρ μοι τῳόντι ἐν μετοπώρῳ τὰ ἄνθη ζητεῖν, ἢ γεγηρα|κότα ὁπλίζειν βούλεσθαι καὶ τῶν ὁμοίων πειρᾶσθαι, τοιαῦτα f. 20v παρ' ἡμῶν ἀπαιτῶν. Ἀλλ' ἐπεὶ οὔτ' εἰωθότες ἐσμὲν ἀνανεύειν σοι, οὔτ' ἔστι τις ἀποφυγὴ δυναμένη σε πείθειν· πάντα γὰρ ἂν μᾶλλον πεισθείης ἢ ὡς οὐκ ἐξαρκοῦμεν ταῖς τε παρούσαις τύχαις καὶ τῷ πράττειν ἅττ' ἂν εἴη σοι βουλομένῳ· τῷ πάντα διδόντι τεθαρρηκότες Θεῷ καὶ τῇ σῇ φιλίᾳ, τὴν σοὶ μὲν φίλην ὑπόθεσιν ἐνιστάμεθα, ἡμῖν δὲ πολλοῦ μὲν ἂν γενομένην ἀξίαν, εἴ τις ἀξιόχρεως ἐγγυητὴς εἴη τοῦ καλῶς ἂν αὐτὴν ὑφ' ἡμῶν ἀνυσθῆναι, ἐργώδη δὲ ἄλλως πρὸς τὰ εἰρημένα βλέπουσι. Τῇ δὲ παρὰ σοῦ ταύτῃ ἀνάγκῃ συμφέρει τι οὐ μικρὸν καὶ ἡ πρὸς τὸν σοφὸν ἄνδρα τοῦτον φιλία τε ἡμῶν καὶ αἰδώς, οὗ τὸ βιβλίον αὐτός τε ἀπήτησας καὶ ἡμεῖς ἐπιβαλλόμεθα ἤδη ἀνεπτυγμένον πᾶσι διδόναι.

Θωμᾶν γὰρ τὸν ἐξ Ἀκίνου οὐκ οἶδα εἴ τις ἐμοῦ πλέον τετίμηκε τῶν αὐτῷ προσεχόντων· οὔτ' εἴ τις αὐτῷ προσέχοι, τούτῳ δεήσειν οἶμαι Μούσης ἑτέρας, ἀγαπητὸν μέντ' ἂν εἶναι παντὶ προσέχειν αὐτῷ καλῶς δύνασθαι. Ἀλλ' ἐπειδὴ τῶν ἐν Ἰταλίᾳ ὄντων τινές, μάλιστα οἱ ἀπὸ τοῦ σχήματος τοῦ Φραγγίσκου, ὧν οὐκ ὀλίγοις ὡμίληκα, ὑστέροις τισὶ διδασκάλοις οὕτω πάνυ προστίθενται ὥστ' αὐτὸν προάγεσθαι τῇ εἰς ἐκείνους εὐνοίᾳ κατηγορεῖν, καίτοι τοῖς ὑπ' αὐτῶν τιμωμένοις πολλοῦ Θωμᾶς ἄξιος ἐγεγόνει, εἰ καί τι αὐτοῖς ἐκγέγονεν ἐπινοῆσαί τι τοῖς τοῦ διδασκάλου καὶ ἐφευρεῖν, ὡς εὐφυέσι τε μαθηταῖς καὶ ὑστέροις ὅλως εἰκὸς ἦν, διὰ δὴ ταῦτα δεῖξαί σοι βουλόμενος ὅσας λεπτότητας ἣν φασιν αὐτοὶ παχύτητα τοῦ ἀνδρὸς περιέχει, καὶ ὡς διὰ τὸ μὴ ἐπαΐειν αὐτοῦ καλῶς οὐθ' ὑγιῶς διαιτᾶν ἔχειν ταῦτ' ἀξιοῦσι, δέον τοὺς μὲν ὑστέρους φιλεῖν τε καὶ θαυμάζειν ὡς δή τι καὶ ἐπινενοηκότας, ἐκείνῳ δὲ ὡς ἁπάντων καθηγεμόνι μείζω χάριν ἔχειν δικαίως καὶ ἅμα ἀκριβεστέρῳ· διὸ καὶ τῶν παρὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας ψήφων τετύχηκε, τῶν ἄλλων μόνον ἐν ταῖς διατριβαῖς τιμωμένων· καὶ τοῦτό σοι τοίνυν δεῖξαι βουλόμενος, ὑπέστην τὸ ἔργον.